ἀντιστῆναι ἔναντι ἐκκλησίας
κωλῦσαι λαὸν ἀπὸ ἁμαρτίας
καὶ κοπάσαι γογγυσμὸν πονηρίας.
8 καὶ αὐτοὶ δύο ὄντες διεσώθησαν
ἀπὸ ἑξακοσίων χιλιάδων πεζῶν
εἰσαγαγεῖν αὐτοὺς εἰς κληρονομίαν
εἰς γῆν ῥέουσαν γάλα καὶ μέλι.
9 καὶ ἔδωκεν ὁ κύριος τῷ Χαλεβ ἰσχύν,
καὶ ἕως γήρους διέμεινεν αὐτῷ,
ἐπιβῆναι αὐτὸν ἐπὶ τὸ ὕψος τῆς γῆς,
καὶ τὸ σπέρμα αὐτοῦ κατέσχεν κληρονομίαν,
10 ὅπως ἴδωσιν πάντες οἱ υἱοὶ Ισραηλ
ὅτι καλὸν τὸ πορεύεσθαι ὀπίσω κυρίου.
11 Καὶ οἱ κριταί, ἕκαστος τῷ αὐτοῦ ὀνόματι,
ὅσων οὐκ ἐξεπόρνευσεν ἡ καρδία
καὶ ὅσοι οὐκ ἀπεστράφησαν ἀπὸ κυρίου,
εἴη τὸ μνημόσυνον αὐτῶν ἐν εὐλογίαις·
12 τὰ ὀστᾶ αὐτῶν ἀναθάλοι ἐκ τοῦ τόπου αὐτῶν
καὶ τὸ ὄνομα αὐτῶν ἀντικαταλλασσόμενον
ἐφ᾽ υἱοῖς δεδοξασμένων αὐτῶν.
13 Ἠγαπημένος ὑπὸ κυρίου αὐτοῦ Σαμουηλ
προφήτης κυρίου κατέστησεν βασιλείαν
καὶ ἔχρισεν ἄρχοντας ἐπὶ τὸν λαὸν αὐτοῦ·
14 ἐν νόμῳ κυρίου ἔκρινεν συναγωγήν,
καὶ ἐπεσκέψατο κύριος τὸν Ιακωβ·
15 ἐν πίστει αὐτοῦ ἠκριβάσθη προφήτης
καὶ ἐγνώσθη ἐν ῥήμασιν αὐτοῦ πιστὸς ὁράσεως.
16 καὶ ἐπεκαλέσατο τὸν κύριον δυνάστην
ἐν τῷ θλῖψαι ἐχθροὺς αὐτοῦ κυκλόθεν
ἐν προσφορᾷ ἀρνὸς γαλαθηνοῦ·
17 καὶ ἐβρόντησεν ἀπ᾽ οὐρανοῦ ὁ κύριος
καὶ ἐν ἤχῳ μεγάλῳ ἀκουστὴν ἐποίησεν τὴν φωνὴν αὐτοῦ
18 καὶ ἐξέτριψεν ἡγουμένους Τυρίων
καὶ πάντας ἄρχοντας Φυλιστιιμ.
19 καὶ πρὸ καιροῦ κοιμήσεως αἰῶνος
ἐπεμαρτύρατο ἔναντι κυρίου καὶ χριστοῦ αὐτοῦ
Χρήματα καὶ ἕως ὑποδημάτων

7$^4$ εκκλησιας V] εχθρου BAS$^c$, > S*† || 8$^3$ εισαγειν A† || 9$^3$ το > B† || 10$^2$ το > S || 11$^1$ εκαστω BS*† || 12$^1$] pr. και S | 12$^2$ αντικαταλλασσομενον] -αλλαξοι ξενον S*† || 13$^1$ σαμ. > B† | 13$^2$ βασιλεα B$^{(†)}$ || 15$^2$ ρημ.] πιστει B† || 16$^2$ εχθρ. αυτου] tr. S*† || 17$^1$ ο > BA || 18$^1$ τυρων S*† || 19$^2$ αυτου > BS*A pl.